eul_wid: tqa-ae

*Ἀνώνυμος γραμματικός* · Greek Grammarian Anonymous

## Grammatical Fragment

*Γραμματικὸν Ἀπόσπασμα*

**Period:** *Ὀψιμαρχαία* Late Antique
**Dialect:** *Κοινή* Koine (frg)
**Domain:** *Γραμματική* Grammar
**Format:** *Πραγματεία* Treatise

[λόγος δ’ ἐστὶν π]εζὴ λέξεων σύν[θεσις] [διάνοιαν αὐτο]τελῆ δηλοῦσα. τούτου [δὲ μέρη ἐστὶ]ν ἐννέα, ὄνομα, προση[γορία, μετοχή], ἀντονομασία{ι}, ἄρθρον, [ῥῆμα, πρόθεσι]ς, ἐπί 〈ρ〉 ρημα, σύνδε[σμο]ν [ .... ὄνομα μ]ὲν οὖν ἐστιν λέξις [οὐ][σίαν ἰδίαν σώ]ματος ἢ πράγματος [σημαίνουσα, χ]ωρὶς χρόνου πτώσε[ων ἐπιδεκτι]κή, οἷον Ὅμηρος, Πάρις. [προσηγορία δ’] ἐστὶν λέξις ἐ{ι}πὶ πολ[λῶν σωμάτων συ]ντ 〈ε〉 ίνουσα, χωρὶς [προσώπου καὶ χρό]νου, οἷον ποιητής, [ἄνθρωπος. μ]ετοχὴ δ’ ἐστὶν λέξις ἄ 〈ρ〉 θρα [καὶ πτώσεις ἐπι]δεχομένη καὶ χρόνω 〈ν〉 [διαφορὰς ἔχο]υσα, οἷον λέγων, φρο[νούμενος, διὰ] τοῦτο καὶ μ[ε]το[χὴ λέγεται διὰ τ]ὸ μετέχ 〈ε〉 ιν [καὶ ὀνόματος κ]αὶ ῥήματος. [ἀντονομασία] δ’ ἐστὶν λέξις ἀντ’ ὀ[νόματος τιθ]εμένη μετὰ δ 〈ε〉 ί[ξεώς τινος συντ]άττουσα τὴν [ἐν τοῖς προσώπ]οις συζυγίαν, [οἷον ἐγώ, οὗτος.] ἄρθ 〈ρ〉 ον δ’ ἐστὶν λέξις {ι} [πτωτική, προ]τακτικὴ ἢ ὑποτακτικὴ [τῶν ἐπιδεχομ]ένων πτώσ 〈ε〉 ις καὶ τὴν [γενῶν διαφοράν], κατὰ τὴν ὀρθὴν [πτῶσιν ἔχουσ]α{ν} οἷον ὁ , ἡ , τό . [ῥῆμα δ’ ἐστὶν λ]έξις πρᾶξιν ἢ πάθος [σὺν χρόνῳ καὶ] προσώπῳ δηλοῦσα{ν}, [οἷον λέγω, γρά]φεται. πρόθεσις [δ’ ἐστὶν λέξις κ]αθ’ ἕνα σχηματισμὸν [ἐκφερομένη, π]ροτακτικὴ τ[ῶ]ν τοῦ [λόγου μερῶν με]τὰ συνπλοκῆ[ς] {ι}. αἱ [μὲν οὖν προθέσε]ις εἰσὶν αὗτ[αι,] [ἀνά, κατά, διά, μ]ετά, παρά, ἀν[τί,] [ἀ]μφί, ὑπ[έ]ρ, ἀπό, περί, ἐν, εἰς, πρό, πρός. ἐπί 〈ρ〉 ρημα δ’ ἐστὶν λέξι{ι}ς κατὰ μίαν ἐκφορὰν δ[η]λουμένη, προτακτικὴ ἢ ὑποτακτικὴ ῥήματος ἀσυν[θ]έτως σημαίνουσα ποσότητα ἢ ποιότητα ἢ χρόνον ἢ τόπον ἢ ἄρνησιν ἢ συνκατάθεσιν ἢ ἀπαγόρευσιν ἢ ἐπικέλευσιν ἢ ἐρώτησιν ἢ εὐχὴ[ν] ἢ παραβολὴν ἢ διστα 〈σ〉 μόν. ποσότητος μὲν οου ἐστιν δηλωτικὰ τὰ τοιαῦτα, πολλάκις, ὀλιγάκις. ποιώτητος δ ⟦ . ⟧ έ, εὖ, καλῶς. χρόνου δέ, νῦν, ἐκθές, αὔριον. τόπου δέ, ἐνθαῦθα, ἐκ 〈ε〉 ῖ, ἔξω. ἀρνήσεος δέ, οὐ. συνκαταθέσεος δέ, ναί.

ἀπαγορεύσεος δέ, μή. ἐπικελεύσεος δέ, τι, πάλιν. ἐρωτήσεος δέ, ποῦ. εὐχῆς δέ, αἴθε. παραβ[ο]λῆς δέ, ὡς. δισ{σ}τασμοῦ δέ, σχεδόν, {ε}ἴσος. σύνδεσμος δ’ ἐστὶν λέξις συνάπτουσα τὰ μέρη τῆς ἑρμεν 〈ε〉 ίας. παραλαμβάνεται δὲ ἤτοι χάρις συνπλοκῆς ἢ διαζεύξεος ἢ αἰτίας ἢ συλλογισμοῦ ἢ ἀπορίας ἢ ἀκ 〈ο〉 λουθίας ἢ τοῦ μὴ κεχηνέναι τὴν σύνθεσις. συνπ 〈λ〉 οκῆς μὲν οὖν εἰσιν οἱ τυοῦτοι δηλωτικοὶ σύνδεσμοι, ἀλλά , μέ [ν], τέ, κέ , ἰδέ , ἠδέ , καί , ἤτοι , ἠμέν , ἄν. δ[ι]αζεύξεος